## I.

Ἐπειδήπερ ὁ μὲν τῆς νόσου χειμὼν ἐπιεικῶς ἦν ἀφόρητος, ἐγὼ δὲ λοιπὸν κακῶς εἶχον, ὡς τὸ εἰκός, ἐπειδὴ νὺξ ἦν καὶ μαλακὸς ὕπνος τοῖς ἡμετέροις ἐφίζανεν ὀφθαλμοῖς, οὐκ εἰωθὸς ὄν, θεῖος ἐφίσταται ὄνειρος· οὐδὲ γὰρ ἄλλοθεν ὑποληπτέον ἐκεῖνον ἀρῖχθαι, οὕτω ταχίστης ὑγείας γενόμενον αὐτουργόν. εἶχε δὲ οὕτως.

Ἔδοξα περί που τὰς ὀρθρινὰς ἀλεκτόρων φωνὰς περικαλλέσιν εἰσκυκλεῖσθαι τοῖς δώμασι· τὰ δὲ ἦσαν οἷα οὔτ' ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτ' ἀνθρωπίνη χεὶρ σκευωρήσαιτο. τούτοις δὲ ἄλλοτε ἄλλῃ περινοστῶν, οὕτω συμβάν, γυναῖκα θείαν <...> τοῖς ὀφθαλμοῖς, ὡς μὲν διεζωγράφει τὰ περιβλήματα, μοναχήν, ὡς δὲ τὸ τῆς δορυφορίας διετράνου πολύ, ἄνασσαν. οὐδ' ἔγωγε τἀληθὲς ἠγνόησα παντελῶς, ἀλλ' ἐν τοῖς ὕπνοις ὤν, ὅμως ὑπώπτευκα τὴν ἀλήθειαν. ἦν γὰρ ἀληθῶς οὐκ ἄλλη τις ἢ σύ, Μαριὰμ ἀπειρόγαμε.

Στίχοι. Ἀλλὰ τὸ λεῖπον ἀποταμιευτέον,
φίλα τεκνία, πρὸς τράπεζαν δευτέραν.

## II.

Ἐχέσθω δή μοι καὶ πάλιν ὁ λόγος τοῦ πρότριτα διηγήματος. ταύτην ἐκείνην ὡς εἶδον ἀρρήτῳ κάλλει καὶ θειοτέρῳ περιαστράπτουσαν, διίστα μέν με χῶρος οὐχὶ βραχὺς καὶ διεζεύγνυ τοῦ ποθουμένου θεάματος. ἀλλὰ ὡς ἐστήξας τοὺς ὀφθαλμοὺς καὶ ἀπερείσας τὰ βλέφαρα διηνεκῶς προσεῖχον ταύτῃ τὸν νοῦν, ὑπὸ δέ τινων ἐνοχλούμενος μελάνων οὐ μᾶλλον τὴν ὄψιν ἢ τὴν προαίρεσιν ὑπὸ ταύτης ἐρρύσθην ὡς τάχιστα. τοὺς μὲν γὰρ ἐγκελεύεται τὴν ταχίστην ἀλύτῳ καθυποβληθῆναι δεσμῷ, ἐμὲ δὲ τῶν ἐκείνης ἀναρπασθῆναι χειρῶν. γέγονεν οὕτω ταῦτα. κἀκεῖνοι μὲν εὐθὺς εἰς τὸ χάος ἀπερριπτοῦντο βαθύ, ἐμοὶ δὲ γαληνὸν ἡ θεία ὡς ἀληθῶς ἄνασσα ἐπιμειδιάσασα καὶ ἀμφοτέραις χερσὶ καταψήσασα οὕτως ἀπέλυσεν.

Στίχοι. Ἀλλ' ὦ Μαριάμ, ἡγιασμένη κόρη,
φρούρησον ἡμᾶς ἀσινεῖς εἰς σὴν χάριν.
ἡμῶν μὲν οὐδέν· ἀλλ' ὅμως φρουρητέον.
Λόγῳ δ' ἀνάγοις δυάδα μοι τῶν νέων·
ἐν σοὶ γὰρ ἠλπίκασιν εὐσεβοφρόνως.

---

I-II. Ex cod. Vatic. gr. 711 saec. XIII-XIV f. 80$^{v}$-82$^{r}$. Sine titulo.

I. — l. 2 Cfr. Hom. *K*, 26. l. 7 Cfr. I Corinth. 2, 8. Fort. οὔτ' ἂν ἀνθρωπ. scribendum. l. 9 Verbum regens desideratur. Fort. supplendum εἶδον: cfr. II. l. 1 s. ταύτην ἐκείνην ὡς εἶδον.

II — l. 10 Ex καταστήσασα, ut videtur, emend.